Hos autem ſermones oportet eſſe factos, & ipſum facientem exponere in vniuerſum: deinde epiſodiis vti, eáque inſerere. Dico verò ſic vniuerſum ſpectari, vt Iphigeniæ. Cùm eſſet immolata quædam virgo, ſublatáque immolantibus non manifeſto, ac comportata in aliam regionem, in qua lex erat, hoſpites Deæ immolare, hoc ſacerdotium obtinuit. Tempore autem ſequenti fratri ſacerdotis huc venire contigit propter neſcio quid: quoniam reſponſum dedit Deus propter aliquam cauſam, quæ extra vniuerſum eſt, eò venire: ſed, quam ob rem, id extra fabulam eſt. Cùm verò veniſſet, & captus eſſet, dum immolandus eſſet, agnouit, ſiue vt Euripides, ſiue, vt Polyides fecit, dicens ſecundum veriſimile nõ ſolùm ſororem, ſed etiam ipſum ſacrificari oportuiſſe, & hinc ſalutem. Poſt hæc cùm quis iam nomina ſuppoſuerit, eum epiſodiis vti oportebit. Et quando erunt propria epiſodia, conſiderare, vt in Oreſte inſania, propter quam captus eſt, & ſalus per expiationem. Ac in dramatibus quidem epiſodia conciſa ſunt. Epopœia verò his producitur. Odyſſeæ enim longus ſermo eſt: de quodam multos annos peregrinante, & obſeruato à Neptuno, & dum ſolus eſſet, & præterea ſic ſe habentibus domeſticis rebus vt fortunæ ipſius à procis conſumerentur, & filius inſidiis peteretur, ipſe venit tempeſtatibus perturbatus, &, cùm quoſdam agnouiſſet, ipſos decipiens, ipſe quidẽ ſeruatus eſt, inimicos verò perdidit. Ac proprium quidem eſt hoc: alia verò epiſodia.

CAPVT XVIII.

ESt autem omnis Tragœdiæ vna quidem pars nexus: altera verò ſolutio. Ea quidem, quæ ſunt extra, & aliqua eorum, quæ intra, ſæpenumerò ſunt nexus. Reliquum verò eſt ſolùtio. Dico autem nexum eſſe eum, qui à principio eſt vſque ad eam partem, quæ poſtrema eſt, ex qua trãſit in proſperam fortunam, vel aduerſam. Solutionem verò, quæ eſt à principio tranſitus vſq. ad finem, vt in Lynceo Theodectis nexus ſunt ea, quæ geſta ſunt, & pueri ſumptio. At ſolutio, quę eſt ab obiectione mortis vſque ad finem. Tragœdiæ ſpecies ſunt quatuor: tot enim etiam partes dictæ ſunt. Vna quidem implexa, cuius totum eſt peripetia, & agnitio. Altera verò affecta, vt Aiaces, & Ixiones: Tertia morata, vt Phthiotides, & Peleus.

A τοῖς τε λόγοις τοὺς πεποιημένους δεῖ καὶ αὐτὸν ποιοῦντα ἐκτίθεσθαι καθόλου, εἶθ' οὕτως ἐπεισοδιοῦν καὶ παρενείρειν. λέγω δὲ οὕτως ἂν θεωρεῖσθαι τὸ καθόλου· οἷον τῆς Ἰφιγενείας, τυθείσης τινὸς κόρης, καὶ ἀφανισθείσης ἀδήλως τοῖς θύσασιν, ἱδρυνθείσης δὲ εἰς ἄλλην χώραν, ἐν ᾗ νόμος ἦν τοὺς ξένους θύειν τῇ θεῷ, ταύτην ἔχε τὴν ἱερωσύνην. χρόνῳ δ' B ὕστερον τῷ ἀδελφῷ συνέβη ἐλθεῖν τῆς ἱερείας· διὰ τί; ὅτι ἀνεῖλεν ὁ θεὸς διά τινα αἰτίαν, ἔξω τοῦ καθόλου, ἐλθεῖν ἐκεῖ, καὶ ἐφ' ὅτι δὲ ἔξω τοῦ μύθου. ἐλθὼν δὲ καὶ ληφθεὶς, θύεσθαι μέλλων ἀνεγνώρισεν. εἶθ' ὡς Εὐριπίδης, εἶθ' ὡς Πολυΐδης ἐποίησε, κατὰ τὸ εἰκὸς εἰπὼν, ὅτι οὐκ ἄρα μόνον τὴν ἀδελφὴν, ἀλλὰ καὶ αὐτὸν ἔδει τυθῆναι· καὶ ἐντεῦθεν ἡ σωτηρία. C μετὰ δὲ ταῦτα ἤδη ὑποθέντα τὰ ὀνόματα ἐπεισοδιοῦν. ὅπως δὲ ἔσται οἰκεῖα τὰ ἐπεισόδια σκοπεῖν· οἷον, ἐν τῷ Ὀρέστῃ ἡ μανία δι' ἧς ἐλήφθη, καὶ ἡ σωτηρία διὰ τῆς καθάρσεως. ἐν μὲν οὖν τοῖς δράμασι τὰ ἐπεισόδια σύντομα, ἡ δ' ἐποποιΐα τούτοις μηκύνεται. τῆς γὰρ Ὀδυσσείας μακρὸς ὁ λόγος ἐστὶν, ἀποδημοῦντός τινος ἔτη πολλὰ, καὶ D παραφυλαττομένου ὑπὸ τοῦ Ποσειδῶνος, καὶ μόνου ὄντος. ἔτι δὲ τῶν οἴκοι οὕτως ἐχόντων, ὥστε τὰ χρήματα ὑπὸ μνηστήρων ἀναλίσκεσθαι, καὶ τὸν υἱὸν ἐπιβουλεύεσθαι, αὐτὸς ἀφικνεῖται χειμασθεὶς, καὶ ἀναγνωρίσας τινὰς, αὐτοῖς ἐπιθέμενος, αὐτὸς μὲν ἐσώθη, τοὺς δ' ἐχθροὺς διέφθειρε. τὸ μὲν οὖν ἴδιον τοῦτο, τὰ δ' ἄλλα ἐπεισόδια.

Κεφάλαιον ιη.

E Ἔστι δὲ πάσης τραγῳδίας, τὸ μὲν δέσις, τὸ δὲ λύσις. τὰ μὲν ἔξωθεν καὶ ἔνια τῶν ἔσωθεν πολλάκις ἡ δέσις· τὸ δὲ λοιπὸν, ἡ λύσις. λέγω δὲ δέσιν μὲν εἶναι τὴν ἀπ' ἀρχῆς μέχρι τούτου τοῦ μέρους ὃ ἔσχατόν ἐστιν, ἐξ οὗ μεταβαίνει εἰς εὐτυχίαν. λύσιν δὲ, τὴν ἀπὸ τῆς ἀρχῆς τῆς μεταβάσεως μέχρι τέλους· ὥσπερ ἐν τῷ Λυγκεῖ τοῦ Θεοδέκτου, δέσις μὲν, τά τε πεπραγμένα, καὶ ἡ τοῦ παιδίου F λῆψις· λύσις δὲ, ἡ ἀπὸ τῆς αἰτιάσεως τοῦ θανάτου μέχρι τοῦ τέλους. Τραγῳδίας δὲ εἴδη εἰσὶ τέσσαρα· τοσαῦτα γὰρ καὶ τὰ μέρη ἐλέχθη. ἡ μὲν, πεπλεγμένη, ἧς τὸ ὅλον ἐστὶ περιπέτεια καὶ ἀναγνώρισις. ἡ δὲ, παθητική· οἷον, οἵ τε Αἴαντες, καὶ οἱ Ἰξίονες. ἡ δὲ, ἠθική· οἷον, αἱ Φθιώτιδες καὶ ὁ Πηλεύς.